eul_wid: vrw-aa

*Ἀλφαβητικὸν ὑπόμνημα* · Alphabetical Commentary

## Gnomic Poetry Fragments

*Γνωμικῆς Ποιήσεως Ἀποσπάσματα*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πραγματεία* Treatise

1.2 []κεφαλὴ στεφανω[ []ν μετὰ τοῦ μέλαν[ος []κω καὶ κλωνία [ []ω μετ' ἐμοῦ δύο κ[ []οις φανερῷ γὰρ ε . [ [] . οι καὶ σ 〈ε〉 ίσατε τω[ []κων ἀνέμων ι . [ []ς περὶ δάκτυλον[ [π]λοκαμοὺς λευκ[οὺς []θανεῖν ὅτι πα[ []ε γούνατα ν . [ [ ]σσοθε[ [ ] . [ .

2.1 [ ]ν [ ] [ ]νω [ ]υς. αὔλ 〈ε〉 ι μο[ι [ ]ω[ .... ]ου [] . [ ...... ] [ ]εσας [ ]ης. αὔλ 〈ε〉 ι μο[ι .

2.1 [Θ....... μηδ' ἀδικεῖν ζήτει, μηδ' ἂν ἀδι[κῇ πρ]οσερίσῃς, φεῦγε φόνους καὶ φεῦγε μάχας, φ[εῖ]σαι διαφρονε[ῖ]ν, εἰς δ' ὀλίγον πονέσεις, καὶ δεύτερον οὐ μεταμέλῃ.

2.1 αὔ[λει μοι. 〈ε〉 Ἶδες ἔαρ, χειμῶνα, θέρος· ταῦτ' ἐστὶ διόλου· ἥλιος αὐτὸς [ἔδυ], καὶ νὺξ τὰ τεταγμέν' ἀπέχει· μὴ κοπία ζητεῖν πόθεν ἥλιος ἢ πόθε[ν] ὕδωρ, ἀλλὰ π[ό]θεν τ[ὸ] μύρον καὶ τοὺς στεφάνου[ς] ἀγοράσῃς.

2.1 αὔλει μο[ι. Κρήνας αὐτορύ[το]υς μέλ[ιτ]ος τρεῖς ἤθελον ἔχειν, πέντε γαλακτορύτους, οἴνου δέκα, δ[ώδε]κα μύρου, καὶ δύο πηγαίων ὑδάτων, καὶ τρεῖς χιονέων· παῖδα κατὰ κρήνην καὶ παρθένον ἤθελον ἔχειν.

2.1 αὔλει μο[ι. Λύδιος αὐλὸς ἐμοὶ τά τε Λύδια παίγματα λύρας κα[ὶ] Φρύγ[ιο]ς κάλαμος, τὰ δὲ ταύρεα τύμπανα πονεῖ· ταῦτα ζῶν ᾄσαί τ' ἔραμαι, καὶ ὅταν ἀποθάνω αὐλὸν ὑπὲρ κεφαλῆς θέτε μοι, παρὰ ποσ 〈σ〉 ὶ δὲ λύρη[ν.

2.1 αὔλει μοι. Μέτρα τί[ς] ἂν πλούτου, τίς ἀνεύρατο μέτρα πενίας, ἢ τίς ἐν ἀνθρώποις χρυσοῦ πάλιν εὕρατο μέτρον; νῦν γὰρ ὁ χρήματ' ἔχων ἔτι πλε[ί]ονα χρήματα θέλει, πλούσιος ὢν δ' ὁ τάλας βασανίζεται ὥσπερ ὁ πένης.

2.1 αὔλ[ει μοι. Νεκρὸν ἐάν ποθ' ἴδῃς καὶ μνήματα κωφὰ παράγῃς, κοινὸν ἔσοπτρον ὁρᾷ 〈σ〉 · ὁ θανὼν οὕτως προσεδόκα. ὁ χρό[ν]ος ἐστὶ δάνος, τὸ ζῆν πικρός ἐσθ' ὁ δανίσας, κἂν τότ' ἀπαιτῆσαί σε θέλει, κλαίων [ἀ]ποδιδοῖς.

2.1 αὔλει μοι. Ξέρξης ἦν βασιλε[ὺ]ς ὁ λέγων Διὶ πάντα μερίσαι, ὃς δυσ 〈ὶ〉 πηδαλ[ί]ο[ι]ς μόνος ἔσχισε Λήμνιον ὕδωρ· ὄλβι 〈ο〉 ς ἦν ὁ Μίδας, τρὶς δ' ὄλβιος ἦν ὁ [Κ]ινύρ[α]ς· ἀλλὰ τίς εἰς Ἀίδα ὀβολοῦ πλέον ἤλυθεν ἔχων; αὔλει μοι.